# JOANNES KYPARISSIOTES

## STOICHEIODES EKTHESIS TON THEOLOGIKON RHESEON *

### (IHRE ÜBERLIEFERUNG UND IHR GEHALT)

VON

BASILEIOS L. DENTAKIS

Dr. PHIL. (UNIV. MÜNCHEN) - Lic. THEOL. (UNIV. ATHEN)

---

Δεκὰς δευτέρα O f. 120

Περὶ τῆς κατὰ ἀπόδειξιν θεολογίας

Κεφάλαιον πρῶτον

Ὅτι διττὴ καὶ ἡ κατὰ ἀπόδειξιν θεολογία

Inc. Μέγας Διονύσιος

Des. τὰ τοιαῦτα ἄλλα. O f. 120v
V f. 125v

Κεφάλαιον δεύτερον

Ὅτι καὶ ἡ φαινομένη δίχα προκαλύμματος ἀποδεικτικὴ θεολογία διὰ τύπων ἡμῖν πεπλασμένων[2] πρόεισι[3]

Inc. Μέγας[4] Διονύσιος

Des. λέγηται[5] ἀποδεικτικῶς.

Κεφάλαιον τρίτον

Ὅτι διὰ πάσης θεολογίας ὁ τῶν ἐσόπτρων καὶ τῶν αἰνιγμάτων χωρεῖ λόγος

Inc. Θεσπέσιος[6] καὶ μέγας

Des. ἀμερίστως τὰ ἀμερῆ. O f. 122
V f. 126v

Κεφάλαιον τέταρτον

Ὅτι ἀδύνατον τοὺς ἐν σώματι ὄντας δίχα τῶν σωματικῶν θεολογῆσαι

Inc. Θεολόγος[7] Γρηγόριος

Des. Πνεύματος πέφυκεν. O f. 122v
V f. 127

---

* Συνέχεια ἀπὸ σελ. 124 τοῦ προηγουμένου τεύχους.

1. Ὁ μέγας V. 2. πεπλασμένον O. 3. πρόησιν O. 4. Ὁ μέγας V. 5. λέγεται V. 6. Ὁ θεσπέσιος V. 7. Ὁ θεολόγος V.

### Κεφάλαιον πέμπτον

Ὅτι οὐδὲ[1] ὁλόκληρον τοῦ Θεοῦ φαντασίαν ἐν τῷ παρόντι αἰῶνι ἐπισχεῖν ἢ θεολογῆσαι δυνάμεθα, οὐδ' ἄλλο[2] τι τῶν κατ' ἐπίνοιαν ἡμῖν[3] συνισταμένων

Inc. Θεολόγος[4] Γρηγόριος
Des. περὶ Θεοῦ νομιστέον. — O f. 124, V f. 127v

### Κεφάλαιον ἕκτον

Ὅτι οὐδὲ ἐκ φυσικῆς ἐμφάσεως[5] ὁ Θεὸς διαγινώσκεται οὐδέ τι τῶν νοούντων ἢ νοουμένων ἐστίν, ἵνα καὶ ἐκ τῶν καθ' αὐτὸν θεολογηθῇ

Inc. Θεῖός[6] φησι Μάξιμος
Des. κτύπος κώφωσιν. — O f. 125

### Κεφάλαιον ἕβδομον

Ὅτι πόθεν δεῖ λοιπὸν θεολογεῖν καὶ ἐκ τίνων

Inc. Μέγας Διονύσιος
Des κατὰ τὴν κτίσιν. — O f. 126

### Κεφάλαιον ὄγδοον

Ὅτι καὶ οἱ ἄκροι τῶν θεολόγων ἀπὸ τῶν κτισμάτων θεολογοῦσι καὶ τὰ ὀπίσθια τοῦ Θεοῦ αὐτὰ τὰ κτίσματά ἐστι καὶ οἱ κατ' αὐτοὺς λόγοι

Inc. Θεολόγος Γρηγόριος
Des. καὶ θεωρητικωτέραν. — O f. 126v

### Κεφάλαιον ἔνατον

Ὅτι ἐν τῇ ἀποδεικτικῇ θεολογίᾳ κυριωτέρα ἐστὶν ἡ διὰ τῶν ἀποφάσεων καὶ ὅτι οὐκ ἀντίκεινται αἱ ἀποφάσεις ταῖς καταφάσεσιν ἐν ταύτῃ τῇ θεολογίᾳ

Inc. Θεολογικώτατος Διονύσιος
Des. ἡμεῖς νομίζομεν. — O f. 127v

### Κεφάλαιον δέκατον

Ὅτι ὁ Θεὸς ὑπὲρ πᾶσαν ἐστὶ κατάφασιν καὶ ἀπόφασιν καὶ διὰ μόνης ἀγνωσίας καὶ ἀβλεψίας παντελοῦς ὁμοῦ καὶ γινώσκεται καὶ θεολογεῖται

---

1. Οὐδὲν V. 2. οὐδὲ ἄλλο O. 3. ἡμειν V. 4. Ὁ θεολόγος V. 5. ἐκφάσεως V. 6. Ὁ θεῖος V.

Inc. Μέγας Διονύσιος
Des. καὶ μυστικὴν θεολογίαν. O f. 129

Δεκὰς τρίτη O f. 129v

Περὶ θείων προόδων

Κεφάλαιον πρῶτον

Ὅτι διττὴ ἡ πρόοδος· ἡ μὲν ἐν Θεῷ, ἡ δὲ ἔξω Θεοῦ καὶ ἀπ᾽ αὐτοῦ πρὸς τὴν κτίσιν
Inc. Μέγας Διονύσιος
Des. τίς ἐστι καὶ διάκρισις. O f. 130

Κεφάλαιον δεύτερον

Ὅτι πᾶσα αἰτία καὶ κίνησις καὶ ἀρχή, τῶν γενητῶν εἵνεκα λεγομένη, γένεσίς ἐστι τοῖς ἀποτελέσμασι συναποτελουμένη
Inc. Ἅγιος Μάξιμος
Des. οὖσα ἀρχή. O f. 131

Κεφάλαιον τρίτον

Ὅτι πᾶσα γένεσις μεσότης δύο τινῶν λέγεται καὶ ἀδύνατόν ταύτην συνίστασθαι ἑνὸς ἀπόντος τῶν τὴν σχέσιν ποιούντων
Inc. Ἅγιος Μάξιμος
Des. σχετά, ὡς δέδικται. O f. 131v

Κεφάλαιον τέταρτον

Ὅτι ἡ πρὸς τὸ δημιουργῆσαι τὰ ὄντα σχέσις καὶ κίνησις τοῦ Θεοῦ καὶ ἡ τῶν ὅλων γένεσις καὶ παραγωγὴ πρόοδος αὐτοῦ καὶ ἐνέργεια λέγεται καὶ σοφία καὶ δύναμις καὶ μεγαλειότης καὶ ὅσα ἄλλα ἔκκειται πρὸς ἀρχὴν ὁδῶν αὐτοῦ ἐκ τῆς μεγαλουργίας τῶν ὄντων γινωσκόμενα
Inc. Μέγας Διονύσιος
Des. καὶ ἐνέργεια αὐτοῦ. O f. 133v

Κεφάλαιον πέμπτον

O f. 134

Ὅτι ὅσα ἐν τῷ λόγῳ τῆς ἐνεργείας μεσότητα παριστᾶν παρείληπται, ἀνυπόστατα καθ᾽ αὑτὰ πέφυκε καὶ ἐν τῷ γίνεσθαι μόνον τὸ εἶναι ἔχει

Inc. Μέγας Βασίλειος
Des. προειρημένων παρίσταται. O f. 134v

### Κεφάλαιον ἕκτον

Ὅτι ὥσπερ ἡ ἐνέργεια τῶν ἐνεργουμένων ἐστὶ καὶ ἡ πρόοδος τῶν προοδευομένων, οὕτω καὶ ἡ βούλησις καὶ ἡ θέλησις τῶν βουλητῶν καὶ θελητῶν
Inc. Μέγας Ἀθανάσιος
Des. μὴ βουλομένου. O f. 135v

### Κεφάλαιον ἕβδομον

Ὅτι κατὰ ταύτην τὴν βούλησιν καὶ θέλησιν τοῦ Θεοῦ καὶ αἱ πρὸς ἡμᾶς αὐτοῦ πρόνοιαι λέγονται
Inc. Μέγας Ἀθανάσιος
Des. τῶν κατὰ σχέσιν γινωσκομένων. O f. 136

### Κεφάλαιον ὄγδοον

Ὅτι ὡς ἐν γένει πᾶσαι αἱ θεῖαι πρόοδοι πρόνοιαι λέγονται νοηταὶ καὶ τίσιν αὐτὰς ὀνόμασιν ἀποκαλοῦσιν
Inc. Μέγας Διονύσιος
Des. ἐκεῖνο ὀνομάζοιτο.

### Κεφάλαιον ἔνατον O f. 137

Ὅτι κατ' αὐτὰς τὰς θείας προνοίας καὶ προόδους καὶ ἐνεργείας καὶ αἱ πρὸς Θεὸν ἡμῶν γίνονται μετοχαὶ καὶ θεωνυμίαι
Inc. Μέγας Διονύσιος
Des. ἔχει καὶ τέλος. O f. 137v

### Κεφάλαιον δέκατον

Ὅτι ὁ Θεὸς εἷς ἐστι καὶ ἀμέριστος καὶ ἀπλήθυντος καὶ ἀκίνητος κατὰ δὲ τὰς προόδους ταύτας δοκεῖ κινεῖσθαι καὶ μερίζεσθαι καὶ πολλαπλασιάζεσθαι καὶ διακρίνεσθαι
Inc. Μέγας Διονύσιος
Des. ἐν ἐκείνοις συμπεραίνεται. O f. 139

## Δεκὰς τετάρτη O f. 139v

## Περὶ ὑποτυπώσεως θείου ὀνόματος

### Κεφάλαιον πρῶτον

Ὅτι πᾶν Θεοῦ ὄνομα τοῦ ἡμετέρου νοῦ ἐστιν εὕρημα

καὶ διὰ τοῦτο πᾶσα θεωνυμία νοητὴ λέγεται
Inc. Θεολόγος Γρηγόριος
Des. τὰς ὀνομασίας ἐξευρίσκοντος.

Κεφάλαιον δεύτερον

Ὅτι ἐκ τῶν αἰτιατῶν ὁ Θεὸς ὑμνεῖται καὶ ἐκ τῶν αὐτῶν ὀνομάζεται
Inc. Μέγας Διονύσιος
Des. ἐξεῦρε νοῦς. O f. 140v

Κεφάλαιον τρίτον

Τίνα τὰ αἰτιατὰ καὶ τίς ἡ κατ' αὐτὰ ὕλη
Inc. Ἅγιος Γρηγόριος ὁ Νύσσης
Des. καὶ αὐτὰ τὰ αἰτιατά.

Κεφάλαιον τέταρτον

Τί τὸ αἴτιον ἐκ τῶν αἰτιατῶν ὀνομάζειν τὸν Θεὸν καὶ οὐκ ἐκ τῶν αἰσθητῶν
Inc. Μέγας Βασίλειος
Des. παρ' ἡμῶν ὁρᾶσθαι. O f. 141v

Κεφάλαιον πέμπτον

Πῶς ὁ Θεὸς παρ' ἡμῶν πολυώνυμος γίνεται
Inc. Θεῖος Γρηγόριος Νύσσης
Des. ἀγγέλοις ἄγνωστον. O f. 142

Κεφάλαιον ἕκτον

Εἰ ἐξ ἀϊδίου τὰ περὶ Θεοῦ ὀνόματα
Inc. Μέγας Βασίλειος
Des ἐκ τούτων γνώριμον. O f. 142v

Κεφάλαιον ἕβδομον

Εἰ ὥσπερ τὰ θεῖα ὀνόματα ἐκ τῶν αἰτιατῶν λαμβανόμενα διαφορὰν ἐνεργειῶν παριστῶ⟨σιν⟩[1], οὕτω καὶ πρὸς τὸν Θεὸν ἀναφερόμενα διάφορα πράγματα παριστᾶν δύνανται
Inc. Μέγας Βασίλειος
Des. ἀνατίθεται τὸν Θεόν. O f. 143

Κεφάλαιον ὄγδοον

Εἰ οὐ δύναται ἐν τῷ Θεῷ τὰ θεῖα ὀνόματα διάφορα

1. παριστῶν O.

πράγματα παριστᾶν, λείπεται μόνην τὴν οὐσίαν αὐτοῦ δηλοῦν οὐ τί ἐστιν, ἀλλ' ὅτι ἐστίν

Inc. Μέγας Ἀθανάσιος

Des. ὀνομάτων ἀναγόμεθα O f. 144

Κεφάλαιον ἔνατον

Ὅτι τὰ θεῖα ὀνόματα, πρὸς αὐτὸ τὸ πρᾶγμα, τὴν τοῦ Θεοῦ οὐσίαν, ἀναφερόμενα, κυρίως αὐτὴν σημαίνουσι καὶ οὐ καταχρηστικῶς, καὶ δι' ἑκάστου τούτων τὴν ὑπερούσιον δηλοῦμεν Τριάδα

Inc. Ἅγιος Κύριλλος

Des. ἐπικαλούμεθα Τριάδα. O f. 145

Κεφάλαιον δέκατον

Ὅτι ὁ αὐτὸς καὶ εἷς Θεὸς ἀπὸ μὲν τοῦ ὅτι ποτὲ τὴν φύσιν ἐστὶν ἀνώνυμος[1] ἡμῖν παντελῶς διατηρεῖται, πολυώνυμος δὲ αὐτὸς καὶ εἷς γίνεται, ὅτι καὶ μόνον ἐστίν, ἐξ ὧν παρήγαγεν

Inc. Μέγας Διονύσιος

Des. ζητήσεως καὶ χρείας. O f. 146

Δεκὰς πέμπτη

Περὶ τῶν κατὰ τὰ θεῖα ὀνόματα ἰδιοτήτων

Κεφάλαιον πρῶτον

Τίσι δεῖ προσέχειν καὶ ἃ δεῖ παραφυλάττεσθαι ἐν ἑκάστῃ τῶν θεωνυμικῶν ἰδιοτήτων

Inc. Μέγας Διονύσιος

Des. ἔξωθεν συνεχόντων. O f. 148

Κεφάλαιον δεύτερον

Περὶ ἀγαθότητος καὶ καλοῦ καὶ ποῦ συνάπτονται καὶ ἐν τίσι διακρίνονται καὶ τίς αὐτῶν ἰδιότης

Inc. Μέγας Διονύσιος

Des. τὸ εἶναι ἔχουσιν. O f. 149v

Κεφάλαιον τρίτον

Περὶ ἔρωτος καὶ ἀγάπης καὶ τίς ἡ κατ' αὐτὰ ἰδιότης

Inc. Μέγας Διονύσιος

Des. πάλιν καθίσταται. O f. 151v

1. ἀνώνυμον O.

Κεφάλαιον τέταρτον

Περὶ τοῦ ὄντος καὶ τῶν κατ' αὐτὸ μερῶν καὶ τίς ἡ ἐν τοῖς οὖσιν ἰδιότης τοῦ ὄντος

Inc. Μέγας Διονύσιος

Des. παράγει, ὡς δειχθήσεται. O f. 154

Κεφάλαιον πέμπτον

Πῶς ὁ Θεὸς καὶ αὐτοεῖναι λέγεται καὶ αὐτοζωὴ καὶ αὐτοσοφία καὶ πάλιν ὁ αὐτὸς τούτων ὑποστάτης λέγεται

Inc. Μέγας Διονύσιος

Des. καὶ κτίσιν αὐτοῦ. O f. 156v

Κεφάλαιον ἕκτον

Περὶ δυνάμεως καὶ δικαιοσύνης καὶ ὅτι ἐκ τῆς ἀπειροδυνάμου δυνάμεως καὶ δικαιοσύνης ἡ αὐτοδύναμις καὶ αὐτοδικαιοσύνη παρήχθησαν καὶ πεποίηνται καὶ τίνες αἱ κατ' αὐτὰς ἰδιότητες

Inc. Μέγας Διονύσιος

Des ἀδικεῖται δὲ οὐδείς. O f. 158v

Κεφάλαιον ἕβδομον

Περὶ ζωῆς καὶ σοφίας τῆς ἐν τῷ Θεῷ καὶ ὅτι αὐτὴ ἡ ζωὴ καὶ ἡ σοφία, ὁ Θεός, αἴτιος καὶ δημιουργός ἐστι καὶ τῆς ⟨ἐν τοῖς⟩[1] οὖσιν αὐτοζωῆς καὶ αὐτοσοφίας καὶ τίνες αἱ κατ' αὐτὰς ἰδιότητες

Inc. Μέγας Διονύσιος

Des. τὸ δέχεσθαι οἷά τε. O f. 159

Κεφάλαιον ὄγδοον

O f. 159v

Περὶ εἰρήνης καὶ σμικρότητος καὶ μεγαλειότητος καὶ στάσεως καὶ κινήσεως καὶ ἑτερότητος καὶ ὁμοιότητος καὶ ὅτι ἐν τῷ Θεῷ ταῦτα μία εἰρήνη ἐστίν, ἔξω δὲ τοῦ Θεοῦ ὡς παρ' αὐτοῦ δημιουργηθέντα διάφορα· καὶ τίνες αἱ κατ' αὐτὰ ἰδιότητες

Inc. Μέγας Διονύσιος

Des. ἐνέργειαν ἑστηκώς. O f. 162

Κεφάλαιον ἔνατον

Περὶ παντοκράτορος, ἀντιλήπτορος, βοηθοῦ, καὶ τῶν ἄλλων τῶν κατὰ πρός τι περὶ Θεοῦ ἐκφερομένων ὀνο-

1. om O.

μάτων καὶ περὶ τῆς κατὰ μίμησιν καὶ ὁμοίωσιν καὶ σχέσιν τοῦ ἀσχέτου καὶ ἀμιμήτου Θεοῦ λεγομένης ἐν τοῖς θεουμένοις καὶ ὁμοιουμένοις καὶ μιμουμένοις θεότητος καὶ ὁμοιότητος καὶ σχέσεως καὶ τῆς κατ' αὐτὴν θεώσεως, καθ' ὑπεροχὴν λεγομένων, βασιλεὺς βασιλευόντων, Θεὸς Θεῶν

Inc. Ἅγιος Γρηγόριος ὁ Νύσσης

Ces. ὑπερούσιον θεότητα. O f. 164v

Κεφάλαιον δέκατον

Περὶ ἰσότητος, τελειότητος, ἑνότητος καὶ τίνες κατ' αὐτὰς αἱ ἐν τοῖς οὖσιν[1] ἰδιότητες

Inc. Μέγας Διονύσιος

Des. μικρὰ δὲ ἡ τῶν μικρῶν. O f. 166v

Δεκὰς ἕκτη O f. 167

Περὶ τῶν τοῦ θείου φωτὸς ἐκφάνσεων

Κεφάλαιον πρῶτον

Ὅτι πᾶν αἰσθητὸν φῶς ἐκ Θεοῦ καὶ ὅτι ὁ ἥλιος εἰκὼν ἐστι τῆς αὐτοῦ ἀγαθότητος

Inc. Μέγας Διονύσιος

Des. ἐν ἑξαημέρῳ δείκνυσιν. O f. 168

Κεφάλαιον δεύτερον

Ὅτι καὶ τὸ αἰσθητὸν πῦρ οὐ μόνον εἰκόνας παρέχεται τῶν θεοειδῶν ἀγγέλων, ἀλλὰ καὶ αὐτοῦ τοῦ Θεοῦ καὶ τίνες αἱ τοῦ Πατρὸς ἰδιότητες

Inc. Μέγας Διονύσιος

Des. δι' ἡμῶν σωτηρίαν. O f. 169

Κεφάλαιον τρίτον

Ὅτι ὁ Θεὸς ἀπὸ τῶν αἰσθητῶν καὶ τιμιωτέρων ὑλῶν ἥλιος καὶ φῶς παρονομάζεται[2], ἀπὸ δὲ τῶν μέσων πῦρ καὶ ὅτι πολυώνυμος ἡ τῶν συμβολικῶν φώτων θεωρία

Inc. Μέγας Διονύσιος

Des. λευκὰ ὡς τὸ φῶς. O f. 170v

1. Οὖσι O. 2. παρ' ὀνομάζεται O.

## Κεφάλαιον τέταρτον

Ὅτι τὸ λάμψαν πρόσωπον τοῦ Κυρίου, ὡς ὁ ἥλιος [1], ἐν τῇ θειοτάτῃ μεταμορφώσει καὶ ἡ κατ αὐτὸ λαμπρότης τὴν μετὰ τὴν ἀνάστασιν τοῦ δεδοξασμένου σώματος εὐπρέπειαν εἰκόνιζε καὶ τὴν ἐσομένην αὐτοῦ φυσικὴν ἔλλαμψιν· διὰ τοῦτο καὶ σωματικοῖς ὀφθαλμοῖς ὑπέπιπτε·

Inc. Θεῖος Χρυσόστομος

Des. προσθήκην ὑποδέξασθαι. O f. 173

## Κεφάλαιον πέμπτον

Ὅτι τὸ λάμψαν ἐν Θαβὼρ ἀπὸ τοῦ Κυρίου φῶς οὔτε ἡ θεία οὐσία ἐστὶν αὐτοῦ, οὔτε ἀπόρροιά τις αὐτῆς καὶ ἀπαύγασμα, ἀλλὰ σύμβολον τῆς νῦν ἀφανοῦς τοῦ Θεοῦ Λόγου κρυφιότητος καὶ [2] εἰκὼν ἀμυδρὰ τῆς μελλούσης αὐτῷ δόξης καὶ ἴνδαλμα τῆς τῶν οὐρανῶν βασιλείας καὶ τοῖς ἄλλοις ὑπερφυέσι τοῦ Χριστοῦ θαύμασιν ἐναρίθμιον

Inc. Τῶν Γραπτῶν θεῖος Θεόδωρος

Des. θεοφανείας ἀποπληρούμενον. O f. 175

## Κεφάλαιον ἕκτον O f. 175v

Ὅτι πᾶσαι αἱ κατὰ καιροὺς φωτοφάνειαι τῆς τοῦ ἑνός, τοῦ Υἱοῦ τοῦ Θεοῦ, ὑποστάσεως [3] ποιήματα καὶ τὸ ὑπόδειγμα τοῦ δεδοξασμένου σώματος αὐτοῦ σύμβολόν [4] ἐστι τῆς αὐτοῦ θεότητος, διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν τῶν ἐν Χριστῷ δύο φύσεων καὶ τὸ αὐτὸ εἶναι ἐπ' αὐτοῦ Θεὸς καὶ ἄνθρωπος· ὅθεν καὶ ἐν ἑκάστῳ τῶν τοῦ Χριστοῦ θαυμάτων ἡ θεότης αὐτοῦ παρεδείκνυτο καὶ παρεγυμνοῦτο καὶ ἐξεκαλύπτετο

Inc. Ἅγιος Γρηγόριος ὁ Νύσσης O f. 177v

Des. εἰς ἡμῶν ἀναγωγήν.

## Κεφάλαιον ἕβδομον

Ὅτι ὅπερ πρὸ τῆς παρακοῆς ἐκέκτητο κάλλος ὁ Ἀδάμ, τοῦτο νῦν ὁ Κύριος ἀναλαβέσθαι τὴν ἀνθρωπίνην φύσιν ἐν Θαβὼρ [5] προεζωγράφησεν, ὕστερον δὲ μετὰ τὴν ἑαυτοῦ ἀνάστασιν, ὥσπερ αὐτὸς ὁ Κύριος ἀπειροπλασίονι τῷ αὐτῷ

---

1. ὡς τὸν ἥλιον O. 2. ἀλλὰ καί O. 3. ὑποστάσει O. 4. σύμβουλον O. 5. Θάμβωρ O.

φωτὶ φυσικῶς περιαστράπτει, οὕτω συνεπομένους ἕξει μεθ' ἑαυτοῦ καὶ τοὺς δικαίους λάμποντας ὑπὲρ τὸν ἥλιον, ἅτε πρὸς τὴν πρὸ τῆς παρακοῆς τοῦ Ἀδάμ ἀποκαθιστῶν μακαριότητα

Inc. Τῆς Κρήτης θεῖος Ἀνδρέας
Des ταύτην πανσόφως μηχανησαμένου. O f. 179v

Κεφάλαιον ὄγδοον O f. 180

Τί καθ' ὕπαρξίν ἐστι τὸ μέλλον τῆς ἀναστάσεως φῶς καὶ τίς ἐστιν ἡ ἡμῖν ἡτοιμασμένη βασιλεία τοῦ Θεοῦ καὶ ἡ κατ' αὐτὴν ἐπουράνιος πόλις

Inc. Μέγας Βασίλειος
Des. βασιλεὺς ἐστι καὶ Κύριος. O f. 181v

Κεφάλαιον ἔνατον

Ὅτι πᾶν φῶς, εἴτε αἰσθητόν, εἴτε νοητόν, ἐκ τοῦ ἀληθινοῦ καὶ ὑπερουσίου φωτὸς ἐκλάμπει καὶ ὅτι φῶς νοητὸν ὁ Θεός

Inc. Μέγας Διονύσιος
Des. εἶναι τὸν Θεόν. O f. 183v

Κεφάλαιον δέκατον

Ὅτι καὶ ὁ θεῖος Μωυσῆς καὶ οἱ κατ' αὐτὸν ἔνθεοι πάντα φῶτα, εἴτε αἰσθητά, εἴτε νοητά, καταλιμπάνοντες εἰς τὸν παμφαῆ γνόφον εἰσδύονται, διὰ παντελοῦς ἀγνωσίας καὶ ἀβλεψίας ἑνούμενοι τῷ ἀπείρῳ

Inc. Μέγας Διονύσιος O f. 184v
Des. τὰ τῇδε συνεώρακεν.

Δεκὰς ἑβδόμη O f. 185

Περὶ θείας μεθέξεως

Κεφάλαιον πρῶτον

Ὅτι ἴδιον τοῦ Θεοῦ τοῖς πᾶσι κατ' οὐσίαν παρεῖναι καί, ὥσπερ τῇ οὐσίᾳ πάρεστιν, οὕτω καὶ τῇ ἐνεργείᾳ· τίς δέ ἐστιν ὁ τρόπος τῆς αὐτοῦ παρουσίας ἄρρητος

Inc. Ἅγιος Ἰουστῖνος
Des. ἄγνωστος ἡμῖν ὁ τρόπος. O f. 186v

Κεφάλαιον δεύτερον

Ὅτι καθ' ὃ πάρεστιν ἡμῖν ὁ Θεὸς καὶ αὐτοῦ μετέχομεν, εἰ δὲ τῇ οὐσίᾳ πάρεστι καὶ τῆς οὐσίας αὐτοῦ μετέχομεν.

Inc. Μέγας Διονύσιος
Des. ὑπερουσίου Πνεύματος. O f. 187v

Κεφάλαιον τρίτον

Ὅτι τῆς θείας οὐσίας μετέχοντες διὰ τοῦ ἁγίου Πνεύματος, μετέχομεν τοῦ ὑπερουσίου Υἱοῦ, τούτου δὲ μεχοντες, μετέχομεν τοῦ Θεοῦ καὶ Πατρὸς καὶ οὕτω γινόμεθα τῆς θείας φύσεως καὶ οὐσίας κοινωνοί
Inc. Κύριος ἐν τοῖς θείοις
Des. κατ' οὐσίαν παρεῖναι. O f. 189

Κεφάλαιον τέταρτον O f. 189v

Ὅτι μετέχοντες τῆς τοῦ Θεοῦ φύσεως, οὐ τῆς ἀπ' αὐτοῦ ψιλῆς καὶ ἀνυποστάτου χάριτός ἐσμεν μέτοχοι, ἀλλ' αὐτοῦ τοῦ ζῶντος καὶ ὑφεστηκότος Ἁγίου Πνεύματος· καὶ ὅτι ὅλος ὁ τρισυπόστατος Θεὸς χάρις λέγεται καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα ἅμα χάρις καὶ ἰδίᾳ τούτων ἕκαστον χάρις· λέγεται δὲ ὁμωνύμως καὶ τὸ ἀπ' αὐτῶν δημιούργημα καὶ ἀποτέλεσμα χάρις
Inc. Ἅγιος Κύριλλος
Des. εἰσφορᾶς ἐπιχορηγουμένη. O f. 191

Κεφάλαιον πέμπτον

Ὅτι ὥσπερ ὁ Θεός, ἡ αὐτοχάρις καὶ τρισυπόστατος δύναμις, ὑφ' ἡμῶν αἰτιατικῶς μετέχεται, οὕτως ὁ αὐτὸς προάγει καὶ κτίζει εἰς μέθεξιν ἡμῶν αἰτιατῶν καὶ τῶν θείων χαρισμάτων διανομήν
Inc. Μέγας ἀπόστολος Παῦλος
Des. ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. O f. 193v

Κεφάλαιον ἕκτον O f. 194

Ὅτι ταύτῃ τῇ ἀποστολικῇ θεολογίᾳ κατακολουθῶν καὶ ὁ θεῖος Διονύσιος τὰ καθολικώτερα τῶν ὄντων αἰτιατὰ καὶ μετοχὰς τῶν μερικωτέρων εἴρηκεν ὡς εἶναι πάντα τὰ ὄντα, ὧν ἐστιν ὁ Θεὸς δημιουργός, εἰς μεθεκτὰ καὶ μετέχοντα διῃρημένα
Inc. Μέγας Διονύσιος
Des. μετέχοντα διακρινομένης. O f. 196

### Κεφάλαιον ἕβδομον

Ὅτι πάντα τὰ μετέχοντα καὶ τὰ μεθεκτὰ ἐκ τῆς μόνης κατ' αἰτίαν μεθεκτῆς δημιουργηθέντα φύσεως, τὰ μὲν ἁπλῶς παρ' αὐτῆς εἰς μετοχὴν ἔκκεινται, τὰ δὲ καθ' ὕπαρξίν ἐστι τῶν μετεχόντων

Inc. Μέγας Διονύσιος

Des. τοῖς μετέχουσι γίνονται. O f. 197

### Κεφάλαιον ὄγδοον

Ὅτι πάντα τὰ εἰς μετοχὴν ὄντα, εἴτε κατὰ μέθεξιν ἔκκεινται, εἴτε καθ' ὕπαρξιν, δι' ἀνεπιτηδειότητα, τῶν δεκτικῶν τὸν πληθυσμὸν καὶ τὴν διαφορὰν τῶν μεθέξεων ὑφίστανται· ἡ δὲ κατ' αἰτίαν μόνη μεθεκτὴ φύσις παντάπασι τῆς διαφορᾶς ταύτης ἐστὶν ἀνεπίδεκτος

Inc. Μέγας Διονύσιος

Des. ἐπὶ τὰ πονηρὰ ἐγκεῖσθαι. O f. 198v

### Κεφάλαιον ἔνατον

Ὅτι μόνη κατὰ τὸν τῆς αἰτίας λόγον μεθεκτὴ ἡ θεία φύσις· καὶ ὅτι ἴδιον Θεοῦ τὸ καλεῖν τὰ πάντα πρὸς κοινωνίαν καὶ ⟨ὅτι⟩[1] τὰ πλειόνων δωρεῶν μετέχοντα πλησιέστερα Θεῷ

Inc. Θεολόγος Γρηγόριος

Des. καὶ Θεῷ πλησιέστερα. O f. 199v

### Κεφάλαιον δέκατον

Ὅτι ὅλος ὁ Θεὸς μεθεκτὸς ἐστι καὶ ὅλος ἀμέθεκτος καὶ οὐ τί μὲν ἐν αὐτῷ μεθεκτόν, τί δὲ ἀμέθεκτον

Inc. Μέγας Διονύσιος

Des. εἴτε καθ' ὕπαρξιν. O f. 200v

## Δεκὰς ὀγδόη O f. 201

## Περὶ τῆς ἐν τοῖς οὖσιν ἀπειρίας τοῦ Θεοῦ

### Κεφάλαιον πρῶτον

Ὅτι οὐδὲν τῶν ὄντων ἀναίτιον, μόνος δὲ ὁ Θεὸς ἀναίτιος, τῶν πάντων αἰτία

Inc. Μέγας Γρηγόριος ὁ θεολόγος

Des. οὐδὲν ἐστιν ἀνώτερον. O f. 201v

1. om O.

Κεφάλαιον δεύτερον

Ὅτι οὐδὲν τῶν ὄντων αὐτοπάρακτον, μόνος[1] δὲ ὁ Θεὸς ἐξ οὐδενὸς κτίζει καὶ δημιουργεῖ πάντα τὰ ὄντα

Inc. Μέγας Διονύσιος

Des. εἶναι τὰ πάντα αἴτιον. O f. 203

Κεφάλαιον τρίτον

Ὅτι πάσης κτίσεως ἐκ μὴ ὄντων παραχθείσης βουλήσει Θεοῦ, οὔτε ὁ αἰὼν συναΐδιός ἐστι τῷ ἀπείρῳ Θεῷ, οὔτε ὁ χρόνος, οὔτε ἄλλό τι τῶν τούτοις συνδιαιτωμένων

Ἐπιγράφεται καὶ οὕτως·

ὅτι οὐδὲν τῶν ὄντων συναΐδιον τῷ δημιουργῷ, μόνος δὲ ὁ Θεὸς ἐξ ἀϊδίου προαιώνιος

Inc. Μέγας Διονύσιος

Des. τῆς τοῦ Θεοῦ δημιουργίας. O f. 205

Κεφάλαιον τέταρτον. O f. 205v

Ὅτι οὐδὲν τῶν ἔργων μὴ δημιούργημα Θεοῦ· καὶ ἐπί τινων ὁ Θεὸς σαββατίζει. καὶ δῆλον, ὧν ἤρξατο ἀριθμεῖν χρονικῶς ἀπὸ χρόνου ἀρξάμενος, εἰς τὴν ἑβδόμην ἐσάββάτισε, χρονικῶς ἔπαυσέ ποτε

Ἄλλως

ὅτι οὐδὲν τῶν ὄντων ἄναρχον, ἀλλ' ἢ ἐξ ἀρχῆς ἐστι τοῦ χρόνου, ἢ ἐξ ἀρχῆς τοῦ αἰῶνος· ὁ δὲ Θεὸς ἁπλῶς καὶ ἀορίστως ἐστὶν ἄχρονος

Inc. Ἅγιος Μάξιμος

Des. μετ' αὐτὸ ἔλαττον. O f. 207v

Κεφάλαιον πέμπτον O f. 208

Ὅτι οὐδὲν τῶν ὄντων ἐξ ἑαυτοῦ προϊὸν ἀδιαίρετόν ἐστιν, ὁ δὲ Θεὸς κατὰ μίαν τὴν αὐτοῦ δύναμιν πολλαπλασιαζόμενος καὶ ἐπὶ πάντα προϊών, ἀδιαίρετός ἐστι καὶ ἀνεκφοίτητος ἑαυτοῦ

Inc. Μέγας Διονύσιος

Des. εἰς ἑαυτὸν ἀποκαθιστάμενος. O f. 210v

Κεφάλαιον ἕκτον

Ὅτι ὁ Θεὸς κατὰ μία ἑνικὴν αἰτίαν πάντα γίνεται, οὐδὲν δὲ τῶν ὑπ' αὐτοῦ γενομένων καὶ ἐνεργουμένων ἄκτιστον

Inc. Μέγας Διονύσιος

Des. τῇ ἀντιφάσει ἕπεται. O f. 212

1. μόνον O.

### Κεφάλαιον ἕβδομον

Ὅτι οὐδεμία δυάς, ἢ τὸ μετ' αὐτὴν πλῆθος, ἢ ἄλλο τι, καθ' ὑπέρθεσιν καὶ ὕφεσιν προχωροῦν, ἄπειρον καὶ ἄναρχον δύναται εἶναι

Inc. Μέγας Διονύσιος
Des. δηλονότ καὶ ἄπειρον. O f. 213v

### Κεφάλαιον ὄγδοον

Ὅτι περιγραφῆς καὶ πέρατος εἶδός ἐστι καὶ ἡ κατάληψις καὶ ἡ ὅρασις, ὁ δὲ Θεὸς πᾶσι μὲν ὡσαύτως ἀπερίγραπτός ἐστι καὶ ἀόρατος, ἰδίᾳ δὲ ἡμῖν καὶ οἱ ἄγγελοι καὶ αἱ ψυχαὶ ἀόρατοι

Inc. Θεολόγος Γρηγόριος
Des. καὶ αἱ ψυχαὶ ἡμῶν. O f. 216

### Κεφάλαιον ἔνατον

Ὅτι οὐδὲν τῶν ὄντων ἐκ τῶν ἀντικειμένων ὀνομάζεται, ὁ δὲ Θεὸς ἐκ τῶν ἀντικειμένων κατ' αἰτίαν ὀνομαζόμενος, κατὰ τὴν ἑαυτοῦ ὕπαρξιν παντελῶς ἐστιν ἀνώνυμος

Inc. Μέγας Διονύσιος
Des. πάντα πάντων αἴτιος. O f. 217

### Κεφάλαιον δέκατον O f. 217v

Ὅτι οὐδὲν τῶν ὄντων ἄκτιστον καὶ ἀγέννητον, μόνος δὲ ὁ Θεὸς ἄκτιστος καὶ ἀγέννητος, πάντα δὲ τὰ μετὰ τὴν θείαν φύσιν γεννητά, ἤτοι κτιστὰ

Inc. Μέγας Διονύσιος
Des. αὐτοῦ τὴν ἀπειρίαν. O f. 219v

## Δεκὰς ἐνάτη[1] O f. 220

## Περὶ τῆς ἐν τῷ Θεῷ ἀπειρίας

### Κεφάλαιον πρῶτον

Ὅτι ἐν τῷ ὑπερουσίῳ Θεῷ οὔτ' ἄλλο τι ἄκτιστόν ἐστι, πλὴν Πατρός, Υἱοῦ καὶ Ἁγίου Πνεύματος, τῆς μιᾶς καὶ μόνης ἀκτίστου φύσεως, οὔτ' ἄλλο τι[2] προαιώνιον[3], πλὴν τῶν τριῶν τούτων θεαρχικῶν ὑποστάσεων

Inc. Μέγας Διονύσιος
Des. Τριάδα ἐν μονάδι. O f. 220v

1. ἐννάτη O. 2. οὔτε ἄλλό τι O. 3. προαιώνιος O.

Κεφάλαιον δεύτερον O f. 221

Ὅτι ἐν τῷ ὑπερουσίῳ Θεῷ οὐκ ἔστιν ἄλλη θεότης αὐτοῦ, εἰμὴ ὁ Πατήρ, ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα, ἡ μία καὶ μόνη ἄκτιστος φύσις, οὐδὲ ἄλλη δύναμις καὶ ἐνέργεια ἐν αὐτῷ, εἰμὴ αὗται πάλιν αἱ τρεῖς θεαρχικαὶ ὑποστάσεις

Inc. Κύριος ἐν τοῖς ἁγίοις

Des. οὔσης ἀληθείας ἐκπίπτει. O f. 222v

Κεφάλαιον τρίτον

Ὅτι ἐν τῷ ὑπερουσίῳ Θεῷ οὐκ ἄλλη ἐστίν ἐν αὐτῷ ἡ μονάς, ἄλλη δὲ ἡ τριάς· οὐδὲ ἐστιν ἐν τῇ ὑπεράνω Τριάδι ἄνισόν τι καὶ μεῖζον καὶ ἔλαττον, οὐδὲ ἄλλο τι στερητικόν[1] ἐν αὐτῇ, καθ' αὐτὸ ἀνούσιον καὶ ἀνυπόστατον

Inc. Μέγας Ἀθανάσιος

Des. οὐσίας καὶ ὑποστάσεως. O f. 224v

Κεφάλαιον τέταρτον

Ὅτι ἐν τῇ ὑπερουσίῳ Τριάδι οὔτε ὑπόστασις τῆς οὐσίας τῷ πράγματι διακρίνεται, οὔτε μὴν αἱ τρεῖς κατ' αὐτὴν θεαρχικαὶ ὑποστάσεις οὐσίᾳ διακρίνονται, ἀλλὰ οὐδὲ ἄλλη τινὶ ἀντιθέσει διακρίνεται, εἰ μὴ μόνη ταύτῃ τῇ κατὰ τὰ πρός τι

Inc. Μέγας Ἀθανάσιος

Des πρὸς τί πως ἔχειν. O f. 226

Κεφάλαιον πέμπτον

Ὅτι ἐν τῇ ὑπερουσίῳ Τριάδι τὸ ἀγέννητον οὔτε οὐσία ἐστίν, οὔτε ὑποστατικὸν ἰδίωμα τοῦ Θεοῦ καὶ Πατρός, οὔτε μὴν ἐν αὐτῇ ἄλλη τις πηγαία ἀρχὴ τῆς ὅλης θεότητος, εἰ μὴ μόνος ὁ Πατήρ[2], οὔτε τις ἄλλη φυσικὴ καὶ οὐσιώδης δύναμις καὶ θεότης καὶ ἐνέργεια, ἐκ τῆς ἀπειρονοήτου καὶ θείας οὐσίας προϊοῦσα, εἰμὴ μόνος ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον

Inc. Μέγας Βασίλειος

Des. ὑπερφυὴς μακαριότης. O f. 229

1. στερετικὸν O. 2. μόνοι O.

### Κεφάλαιον ἕκτον

Ὅτι ἐν τῇ ὑπερουσίῳ Τριάδι οὐκ ἄλλη ἐνέργεια καὶ χεὶρ ἐστιν[1], δι' ἧς ὁ Θεὸς τὰ πάντα ἐργάζεται, εἰμὴ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, οὐδὲ ἄλλη σοφία καὶ δύναμις καὶ δόξα καὶ εἰκὼν τοῦ ὑπερουσίου Θεοῦ, εἰμὴ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα

Inc. Μέγας Ἀθανάσιος
Des. Θεοῦ καὶ Πατρός. O f. 233

### Κεφάλαιον ἕβδομον

Ὅτι ἐν τῇ ὑπερουσίῳ Τριάδι οὐκ ἄλλη τίς ἐστιν ἐν αὐτῇ ζωή, ἢ βούλησις, ἢ ἀγάπη, ἢ μακαριότης, ἢ κάλλος, ἢ ἁγιότης, οὐδὲ μὴν ἀγαθότης, ἢ μορφή, ἢ βασιλεία, εἰμὴ αὐτὸς ὁ ὑπερούσιος Υἱὸς τοῦ Θεοῦ καὶ τὸ πανάγιον αὐτοῦ Πνεῦμα

Inc. Χρυσοῦς τὴν γλῶτταν
Des. καὶ τ' ἄλλα περιείληφεν. O f. 235v

### Κεφάλαιον ὄγδοον

Ὅτι ἐν τῇ ὑπερουσίῳ Τριάδι οὐδέν ἐστιν ἐν αὐτῇ, ὅπερ οὐκ ἐστιν οὐσία καὶ ὑπόστασις, οὐδέ ἐστιν ἐν αὐτῇ φυσικὸν καὶ οὐσιῶδες τῷ Πατρί, ὅπερ οὐκ ἔστιν ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, οὐδὲ ἄλλο τί εἰσιν ἐν τῷ Θεῷ οἱ λόγοι τῶν ὄντων, εἰμὴ συνεπτυγμένως ὁ τοῦ Θεοῦ μονογενὴς Λόγος

Inc. Ἅγιος Κύριλλος
Des. ὑπεράγιον αὐτοῦ Πνεῦμα. O f. 237v

### Κεφάλαιον ἔνατον

Ὅτι ἐν τῇ ὑπερουσίῳ Τριάδι, πλὴν τῶν μὴ ἀντιστρεφουσῶν[2] τριῶν θεαρχικῶν ὑποστάσιων, οὐδέν ἐστιν ἐν αὐτῇ, ὅπερ οὐκ ἔστι τὸ ἕτερον τοῦ ἑτέρου εἶναι· ἡ γὰρ ζωὴ τοῦ Υἱοῦ οὐχ ἑτερόν ἐστι παρὰ τὸν Πατέρα· καὶ ἡ τοῦ Πατρὸς αὖθις οὐδέν ἐστιν ἕτερον παρὰ τὸν Υἱόν, ὡσαύτως καὶ περὶ τοῦ Ἁγίου Πνεύματος τὸ αὐτὸ δι' ἑκατέρων καὶ τοῦτ' ἔστι, τὸ δι' ἀλλήλων καὶ ἐν ἀλλήλαις χωρεῖν τὰς τρεῖς θεαρχικὰς ὑποστάσεις

1. ἐστίν O. 2. ἀντιστρεφόντων O.

Inc. Μέγας Διονύσιος
Des. τῶν ἱερῶν τῆς Γραφῆς λογίων. O f. 240

Κεφάλαιον δέκατον

Ὅτι ὑπὲρ πάντα λόγον καὶ νοῦν πᾶν τὸ ἐν τῇ ὑπερουσίῳ Τριάδι θεωρούμενον καὶ παντελῶς ἄγνωστον καὶ ἀνεπινόητον, ὅπως τὸ αὐτὸ καὶ ἓν εἶναι, καὶ ἐν ἑκάστῳ τῶν τριῶν ὅλον καὶ μόνον ἐστί, καὶ ὁμοῦ τοῖς τρισὶν ὅλον καὶ μόνον τὸ αὐτό, καὶ ἐν οὐδενὶ κατ' οὐδὲν τῆς μοναδικῆς ὁλότητος ἐξίσταται, τριαδικῶς ὁμοῦ καὶ ἑνιαίως προσκυνούμενον[1]

Καὶ οὕτως·

ὅτι ἐν τῇ ὑπερουσίῳ Τριάδι οὐ κατὰ τὰ θεαρχικὰ πρόσωπα καὶ τὸ εἶναι ταύτης ὁρίζεται, ὑπὲρ δὲ πάντα λόγον ἕν ἐστι τῶν τριῶν εἶναι

Inc. Ἅγιος Μάξιμος
Des. δι' ὑπερβάλλουσαν αὐτοῦ ἀγαθότητα. O f. 242
V f. 128

Δεκὰς δεκάτη O f. 242v

Περὶ θείας ἁπλότητος

Κεφάλαιον πρῶτον

Ὅτι οὐ δεῖ ζητεῖν ἐπὶ τῆς ὑπερουσίου Τριάδος ἕξεις καὶ διαθέσεις, οὐδὲ εἰ ἐστί[2] τινὰ περὶ αὐτὴν τὰ συμπληροῦντα τὴν οὐσίαν αὐτῆς

Inc. Ἅγιος[3] Μάξιμος
Des. καὶ αἰνίγματα διϊόντες ζωήν. O f. 243v
O f. 128v

Κεφάλαιον δεύτερον

Ὅτι οὐ δεῖ ζητεῖν ἐπὶ τῆς ὑπερουσίου Τριάδος συμβεβηκότα τινὰ παρυφιστάναι τῇ ταύτης ὑπάρξει, οὐδὲ οὐσιώδεις διαφορὰς ἐπ' αὐτῆς νοεῖν[4], ὅπου γε καὶ ἐπὶ[5] τῶν παρ' αὐτῆς δημιουργηθέντων ἀΰλων, οὐδὲ[6] ζητεῖν οὐσίας καὶ ἐνεργείας διαφοράν, οὐδὲ ὡς ἄλλῳ ἄλλο τὴν καθ' αὐτὰ[7] συμβαίνειν ὕπαρξιν[8]

Inc. Ἅγιος Κύριλλος
Des. χώραν ἔχει. O f. 245
V f. 129v

1. προσκυνουμένων O. 2. Οὐδ' ἔστι O. 3. Ὁ ἅγιος V. 4. ἐννοεῖν O. 5. ἀλλ' ἐπὶ V. 6. οὐ δεῖ V. 7. καθ'αὑτὰ O. 8. ὕπαρξις O.

Κεφάλαιον τρίτον

Ὅτι ἐπὶ τῆς ὑπερουσίου μονάδος οὐ δεῖ ζητεῖν ἁπανταχοῦ τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφοράν, ὅπου ἐξ ἑαυτῆς[1] ὑπάρχειν λέγεται καὶ ὅπου ἐξ αὐτῆς πρόεισιν ἡ ἑαυτῆς ἐνέργεια[2] καὶ ὅπου ἐξ ἑαυτῆς[3] δι' ἑαυτῆς εἰς ἑαυτὴν ἐπανακυκλοῦται

Inc. Μέγας Διονύσιος
Des. ἀδιάστατον καὶ ἀναίτιον. O f. 246v
V f. 130v

Κεφάλαιον τέταρτον

Ὅτι ἐπὶ τῆς ὑπερουσίου μονάδος οὐ δεῖ ζητεῖν ἐπ' αὐτῆς ἄλλο οὐσίαν καὶ ἄλλο ἐνέργειαν, οὐδὲ ἐγκαλύπτεσθαι τῇ τῆς ἐνεργείας ὁμωνυμίᾳ[4], οὐδὲ μὴ ταὐτὸν ἐπ' αὐτῆς οὐσίαν οἴεσθαι καὶ ἐνέργειαν

Inc. Ἅγιος[5] Γρηγόριος ὁ Νύσσης
Des. αἴσχιστον καὶ ἀλόγιστον. O f. 248v
V f. 131v

Κεφάλαιον πέμπτον

Ὅτι ἐπὶ τῆς ὑπερουσίου μονάδος οὐ δεῖ ζητεῖν ἐπ' αὐτῆς ἐνέργειαν καθ' αὑτὴν ἀνούσιον καὶ ἀνυπόστατον, οὐδὲ συνεπιθεωρεῖν ἄλλο τι μετ' αὐτῆς, οὐδὲ διακρίνειν ἀπ' αὐτῆς τὴν ἑαυτῆς ἐνέργειαν

Inc. Μέγας[6] Βασίλειος
Des. τὴν ἑαυτῆς ἐνέργειαν. O f. 250
V f. 132v

Κεφάλαιον ἕκτον

Ὅτι ἐπὶ τῆς ὑπερουσίου μονάδος οὐ δεῖ ζητεῖν ἐπ' αὐτῆς ἄλλο οὐσίαν καὶ ἄλλο ἀγαθότητα, οὐδὲ ἄλλο ἐπ' αὐτῆς μορφὴν καὶ[7] ἄλλο οὐσίαν[8] ἑαυτῆς, οὐδὲ ἄλλο ζωήν, ἢ σοφίαν, ἢ δύναμιν ἐπ' αὐτῆς, ἄλλο δὲ τὴν ἑαυτῆς οὐσίαν εἶναι

Inc. Κύριος[9] ἐν τοῖς εὐαγγελίοις O f. 252
Des. μοναδικὴν αὐτῆς οὐσία. V f. 133

---

1. ἐξ αὐτῆς V. 2. καὶ ὅπου ἐξ ἑαυτῆς πρόεισιν ἡ ἑαυτῆς ἐνέργεια om V. 3. ἐξ αὐτῆς V. 4. οἰκονομίᾳ O. 5. Ὁ ἅγιος V. 6. Ὁ μέγας V. 7. καὶ om O. 8. ἀλλοιουσίαν O. 9. Ὁ Κύριος V.

### Κεφάλαιον ἕβδομον

῞Οτι ἐπὶ τῆς ὑπερουσίου μονάδος οὐ δεῖ ζητεῖν ἐπ᾿ αὐτῆς ἄλλο μὲν εἶναι τὴν γνῶσιν αὐτῆς, ἢ τὴν ἀγάπην αὐτῆς, ἢ τὸ κάλλος αὐτῆς, ἢ τὴν ἀθανασίαν αὐτῆς καὶ τὰ ἄλλα[1], ἄλλο δὲ τὴν ὑπέρθεον αὐτῆς μοναδικὴν οὐσίαν καὶ ὕπαρξιν

Inc. ῞Αγιος[2] Κύριλλος

Des. ὡς ἑαυτὴν ἔχουσα. O f. 252

V f. 133v

### Κεφάλαιον ὄγδοον

᾿Επὶ τῆς ὑπερουσίου μονάδος οὐ δεῖ ζητεῖν διότι αὕτη ἐστὶ τὰ πάντα, πολλὰ ἑαυτῆς εἶναι καὶ διάφορα τὰ πάντα, αὐτὰ δὲ ταῦτά ἐστιν ἡ θεία καὶ μακαρία αὐτῆς οὐσία, ἔχουσα τὰ πάντα οὐχ ὡς ἕτερα ἐν ἑτέρῳ, ἀλλ᾿ ἀσχέτως καὶ συνειλημμένως, κατ᾿ οὐδεμίαν διπλόην καὶ ὑπὲρ πᾶν ἕν V f. 134

Inc. ῞Αγιος[3] Μάξιμος

Des ὑποκειμένου ἐνέργεια. O f. 254v

V f. 135v

### Κεφάλαιον ἔνατον

῞Οτι ἐπὶ τῆς ὑπερουσίου μονάδος οὔτ᾿ ἀρχὴν αὐτῆς ἐστιν εὑρεῖν, οὔτε μέσην, οὔτε τελευτήν, οὔτε ὁλότητα, διότι ἐφ᾿ ἑκάστου τῶν νοουμένων ὅλη καὶ μόνη ἐστίν, οὔτε μὴν ἐστί τι τῶν ὄντων, διότι αὕτη ἐστὶ τὰ πάντα, οὐδέ ἐστι ὀνόματι αὐτὴν περιλαβεῖν

Inc. Μέγας[4] Διονύσιος

Des. ἧς ἡ οὐσία ἐνέργεια. O f. 257

V f. 137

### Κεφάλαιον δέκατον O f. 257v

῞Οτι ἡ ὑπερούσιος μονὰς ὑπὲρ πᾶσάν ἐστιν οὐσίαν καὶ ὑπὲρ πᾶσαν μονάδα καὶ τριάδα ἡμῖν διεγνωσμένην καὶ οὔτε οὐσία ἐστίν, οὔτε μονάς, οὔτε τριὰς ὑπό τινος συνεγνωσμένη, οὐδὲ ἄπειρον, ἢ ἐν τοῖς πολλοῖς ἐναρίθμιον

Inc. Μέγας[5] Διονύσιος

Des. εἰς τοὺς αἰῶνας. ᾿Αμήν. O f. 260v

V f. 139

---

1. τ᾿ ἄλλα V. 2. ῾Ο ἅγιος V. 3. ῾Ο ἅγιος V. 4. ῾Ο μέγας V. 5. ῾Ο μέγας V.